UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Vita S. Antonii Eremitae

**Athanasius <Alexandrinus, Heiliger>**

**Avgvstae Vindelicorvm, 1611**

Greg. Naz. Oratione In Lavdem S. Athanasij.

**urn:nbn:de:hbz:466:1-41477**

Visual Library

# GREG. NAZ. ORATIONE IN LAVDEM S. Athanaſij.

ΠΑντα μὲν τοι τὰ ἐκείνου (τοῦ Ἀθανασίου) λέγειν τε καὶ θαυμάζειν, μακρότερον ἂν εἴη τυχὸν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου· καὶ ἱστορίας ἔργον, οὐκ εὐφημίας: ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τε καὶ ἥδυσμα τοῖς εἰς ὕστερον, εὐχῆς ἔργον ἐμοὶ, ὥσπερ ὃν ἐκεῖνος Ἀντωνίου τοῦ θείου βίον συνέγραψε, τοῦ μοναδικοῦ βίου νομοθεσίαν, ἐν πλάσματι διηγήσεως.

Atq; omnem quidem illius (Athanaſij) vitam ſermone proſequi, ac laudibus efferre, longius fortaſſe fuerit, quàm orationis inſtitutum ferat; atq; hiſtoriæ opus fuerit, non encomij: quam etiam, ut poſteris documento atq; oblectationi futuram, proprio ſcripto mandare cum primis optarem; quemadmodum ipſe D. Antonij vitam conſcripſit, quum vitæ monaſticæ leges ſub narrationis ſpecie promulgaret.

# SOCRAT. ECCLES. HIST. lib. I. cap. 21.

Ὁποῖος ἦν ἐπὶ τῶν αὐτῶν χρόνων καὶ ὁ μοναχὸς Ἀντώνιος ἐν τῇ ἐρήμῳ τῆς Αἰγύπτου· ὃς φανερῶς τοῖς δαίμοσιν ἀντεπάλαιεν, ἐφευρίσκων τε αὐτὰς τὰς τέχνας αὐτῶν καὶ τοὺς ἄθλους, καὶ ὅπως πολλὰ ἐποίει τεράστια: περιττὸν λέγειν ἡμᾶς. ἔφθασε γὰρ Ἀθανάσιος, ὁ Ἀλεξανδρείας ἐπίσκοπος, μονόβιβλον εἰς τὸν αὐτοῦ βίον ἐκθέμενος.

Qualis vitâ & moribus Antonius monachus in ſolitudine Ægypti, eisdem fuerit temporibus, quomodo cum dæmonibus palàm & apertè dimicarit, illorum aſtutias & callidas pugnas deprehenderit, multa prodigia & miracula ediderit: quoniam ab Athanaſio Alexandriæ epiſcopo, in libro ſeparatim de eius vita conſcripto iam pridem expoſitum eſt; eadem nos commemorare, planè videtur ſupervacaneum.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN